Βιβλιογραφία

ἐν Θράκῃ μαρτυρήσαντες.

Ἁγίου Ζωσίμου μάρτυρος
Ἀκολουθία
ἐν Σωζοπόλει Ἀπολλωνίας
Ζηνοβίου Σ. Ζερμαγίδου
Ἱερομονάχου
Ἐγκρίσει τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας
ἐν Κωνσταντινουπόλει
ἐν τῷ Πατριαρχικῷ Τυπογραφείῳ
1910.
σελ. 1-53 εἰς 8ον.

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

# ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΖΩΣΙΜΟΥ

ΕΚΔΟΘΕΙΣΑ ΤΟ ΠΡΩΤΟΝ

ΥΠΟ ΤΟΥ

ΕΚ ΣΩΖΟΥΠΟΛΕΩΣ ΑΠΟΛΛΩΝΙΑΣ

ΖΗΝΟΒΙΟΥ Γ. ΖΟΥΡΜΑΛΙΔΟΥ

ΙΕΡΟΨΑΛΤΟΥ

Ἐγκρίσει τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

✠

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ

1910

ΤΩι

ΣΕΒΑΣΜΙΩΤΑΤΩι ΜΗΤΡΟΠΟΛΙΤΗι

ΣΩΖΟΥΑΓΑΘΟΥΠΟΛΕΩΣ

ΚΥΡΙΩι ΜΟΙ Κῳ

ΔΩΡΟΘΕΩι ΧΡΗΣΤΙΔΗι

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΚΑΙ

ΤΟΙΣ ΦΙΛΟΙΣ ΣΥΜΠΑΤΡΙΩΤΑΙΣ

ΣΩΖΟΠΟΛΙΤΑΙΣ

ΑΦΙΕΡΟΙ

Ο ΕΚΔΟΤΗΣ

Πρὸς τὴν Α. Σεβασμιότητα τὸν ἅγιον Σωζοαγαθουπόλεως
Κύριον Κύριον Δωρόθεον.

**Σεβασμιώτατε,**

Ὑποβάλλων μετὰ σεβασμοῦ ἐν ἰδιοχείρῳ μου χειρογράφῳ, εἰς τὴν ἔγκρισιν τῆς Ὑμ. Σεβασμιότητος, πονημάτιόν μου ὑπὸ τὸν τίτλον **Ἀκολουθία τοῦ Ἁγίου Μάρτυρος Ζωσίμου** τοῦ πολιούχου τῆς πατρίδος ἡμῶν Σωζοπόλεως [Ἀπολλωνίας], τῆς μνήμης αὐτοῦ ἑορταζομένης τὴν 19ην Ἰουνίου πανηγυρικῶς ἐν τῷ φερωνύμῳ αὐτοῦ Ναῷ, ταπεινῶς παρακαλῶ Αὐτήν, ὅπως μοὶ ἐπιτρέψῃ ἵνα τύποις ἐκδώσω αὐτό, ὡς ἀναπληροῦν σπουδαιοτάτην ἔλλειψιν ἐν τῇ βιβλιοθήκῃ τῶν ἐκκλησιαστικῶν ἡμῶν βιβλίων.

Ἔχων δὲ δι᾽ ἐλπίδος, ὅτι θὰ ληφθῇ ὑπ᾽ ὄψιν ἡ παροῦσα ταπεινὴ αἴτησίς μου, κατασπάζομαι τὴν ἁγίαν Αὐτῆς δεξιὰν καὶ διατελῶ τέκνον πειθήνιον τῆς Ὑμετέρας Σεβασμιότητος.

Ἐν Σωζοπόλει, τῇ 1ῃ Ἰουνίου 1906.

Ζ. ΖΟΥΡΜΑΛΙΔΗΣ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ
ΣΩΖΟΥΑΓΑΘΟΥΠΟΛΕΩΣ

Ἀριθμ. 75. Σωζόπολις, τῇ 10 Ἰουνίου 1906.

Πρὸς τὸν Ἡμέτερον πρωτοψάλτην τοῦ καθ᾿ ἡμᾶς Μητροπολιτικοῦ ναοῦ Σωζοπόλεως, κύριον Ζηνόβιον Ζουρμαλίδην.

Ἡ Ἱερὰ Μητρόπολις Σωζουαγαθουπόλεως, λαβοῦσα ὑπ᾿ ὄψιν τὴν ἀπὸ 1ης τοῦ παρόντος μηνὸς Ἰουνίου ε. ε. αἴτησιν ὑμῶν καὶ διεξελθοῦσα τὸ δι᾿ αὐτῆς ὑποβληθὲν καὶ παρ᾿ ὑμῶν φιλοπονηθὲν πονημάτιον, ὑπὸ τὸν τίτλον «Ἀκολουθία τοῦ ἁγίου μάρτυρος Ζωσίμου» ἔκρινεν, ἵνα τύποις ἐκδοθῇ αὐτό, ὡς λίαν χρήσιμον τῇ Ἐκκλησίᾳ καὶ παντὶ φιλοθρήσκῳ χριστιανῷ καὶ ὡς συνᾷδον πρὸς τὰς διατάξεις τοῦ τυπικοῦ τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.

† Ὁ Σωζουαγαθουπόλεως ΔΩΡΟΘΕΟΣ

(Τ. Σ)



**Φίλοι ἀναγνῶσται,**

Ἀπὸ δεκαετίας καὶ ἐντεῦθεν, ψάλλων ἐν τοῖς ἐνταῦθα ἱεροῖς Ναοῖς, διαβλέπων δὲ τὴν ἀπόλυτον ἀνάγκην τῆς συντάξεως καὶ συμπληρώσεως τῆς μέχρι σήμερον ἐν χειρογράφῳ ὑπαρχούσης ἐλλιποῦς ἀκολουθίας τοῦ Ἁγίου μάρτυρος Ζωσίμου, τῆς μνήμης αὐτοῦ τελουμένης τὴν 19ην Ἰουνίου καὶ ἑορταζομένου ἐνταῦθα πανηγυρικῶς, ἐπεχείρησα συνῳδὰ τῷ Τυπικῷ τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, νὰ συμπληρώσω καὶ ἐπιδιορθώσω, ὅσον μοὶ ἐπέτρεψαν αἱ ἀσθενεῖς μου δυνάμεις, τὰ ἐν τῷ χειρογράφῳ ἐλλείποντα καὶ ἀκατάλληλα· διότι, ἀπὸ μὲν τῶν τοῦ Ἑσπερινοῦ ψαλλομένων, ἐλλείπουσι τὰ μετὰ τὰ Δοξαστικὰ Θεοτοκία, τὰ Ἀναγνώσματα καὶ τὸ μετὰ τὸ Ἀπολυτίκιον Θεοτοκίον· ἀπὸ δὲ τῶν τοῦ Ὄρθρου, ἅπαντα τὰ μετὰ τὰ Καθίσματα Θεοτοκία, τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου καὶ ὁ Κανὼν τοῦ ἁγίου ὅστις τυγχάνει, ὅπως ἔχῃ, τότε νῦν, ὅλως ἀκατάλληλος καὶ ἄνευ ἀκροστιχίδος, καθόσον εἶνε ἁπλῆ ἀντιγραφὴ τοῦ κανόνος τοῦ ἁγίου Ἰσαύρου, τοῦ ὁποίου ἡ μνήμη τελεῖται τὴν 17ην Ἰουνίου καὶ ὅστις κανὼν φέρει ἀκροστιχίδα, ὡς ἐν τῷ χειρογράφῳ φαίνεται, «Ζώσιμε μάρτυς εὐμενὴς φάνηθί μοι», ἐν ᾧ ἀναγινώσκεται, Ἴσαυρε μάρτυς εὐμενὴς φάνηθί μοι, καὶ ἀπὸ τῶν τῆς Λειτουργίας ψαλλομένων, ἐλλείπουσιν ὁ Ἀπόστολος, τὸ Εὐαγγέλιον καὶ ἄλλα.

Τὴν ἔλλειψιν ταύτην προσεπάθησα νὰ συμπληρώσω διὰ τοῦ ἀνὰ χεῖρας πονηματίου μου, **Ἀκολουθία τοῦ ἁγίου**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

)( η΄ )(

**Μάρτυρος Ζωσίμου** τὴν ὁποίαν ἐπεξεργασθεὶς συμφώνως ταῖς τυπικαῖς διατάξεσι τοῦ Τυπικοῦ τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, ποιήσας δὲ καὶ κατάλληλον κανόνα εἰς ἦχον τέταρτον πρὸς τό, «Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος» μὲ ἀκροστιχίδα, «Ζώσιμον ἐπαινῶ τὸ κλέος Ἀπολλωνιάδος» ὡς καὶ τυπικὴν διάταξιν τῆς ἀκολουθίας, ἐὰν ἡ μνήμη τοῦ ἁγίου τύχῃ ἐν Κυριακῇ, ἢ τῇ Κυριακῇ τῶν Ἁγίων Πάντων, ὅταν τὸ Ἅγιον Πάσχα τύχῃ τὴν 24ην Ἀπριλίου, ἀφιερῶ τῷ Σεβασμιωτάτῳ Μητροπολίτῃ ἁγίῳ Σωζουαγαθουπόλεως Κυρίῳ μοι Κυρίῳ Δωροθέῳ Χριστίδῃ καὶ τοῖς φίλοις συμπατριώταις.

Ἔχων δὲ δι' ἐλπίδος, ὅτι ἡ ἔκδοσις τοῦ ἐλαχίστου μου τούτου πονηματίου, θὰ τύχῃ εὐμενοῦς ὑποδοχῆς παρά τε τῶν ἀγαπητῶν μοι συμπατριωτῶν, ὡς καὶ παρὰ τῶν λοιπῶν φιλοχρίστων ὁμογενῶν, ἐκφράζω ἐκ τῶν προτέρων πρὸς ἅπαντας τούτους, τὰς ἀπείρους μου εὐχαριστίας καὶ τὴν βαθεῖαν μου εὐγνωμοσύνην καὶ διατελῶ.

**Ὁ ἐκδότης**

ΖΗΝΟΒΙΟΣ Γ. ΖΟΥΡΜΑΛΙΔΗΣ
δεξιὸς ψάλτης τοῦ Μητροπολιτικοῦ Ναοῦ
τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου.



# ΠΡΟΛΕΓΟΜΕΝΑ

Τὸ ἔργον τῆς ἐξαπλώσεως τῆς χριστιανικῆς ἡμῶν πίστεως ἤρξατο διὰ τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων τόσον δραστηρίως, ὥστε καὶ πρὸ τῆς τελευτῆς αὐτῶν εἶχε σχεδὸν ἐξαπλωθῇ ἡ χριστιανικὴ ἡμῶν θρησκεία καθ' ἅπαντα τὸν τότε γνωστὸν κόσμον. Ενεκα δὲ τῆς ταχείας ἐξαπλώσεως τοῦ χριστιανισμοῦ, ἠγέρθησαν κατ' αὐτοῦ φοβεροὶ διωγμοί, κατὰ τοὺς ὁποίους χιλιάδες χριστιανῶν ἐμαρτύρησαν ὑπὲρ τῆς πίστεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Περὶ δὲ τὸ 98 ἕως 117 ἔτος μ. Χ καὶ ἐπὶ τῆς αὐτοκρατορίας τοῦ ἀσεβοῦς καὶ αἱμοδιψοῦς αὐτοκράτορος τῶν Ρωμαίων Τραϊανοῦ καὶ ἡγεμονεύοντος ἐν Ἀντιοχείᾳ τῆς Πισσιδίας Δομετιανοῦ, ὅτε καὶ τὰ ὅρια, τοῦ Ρωμαϊκοῦ κράτους εἶχον ἐκταθῆ πέραν τοῦ Δουνάβεως (Βλαχίας) καὶ τοῦ Εὐφράτου (Μεσοποταμίας) ἕνεκα τῶν ἐπιτυχῶν πολέμων κατὰ τῶν Δακῶν (Βλάχων) καὶ λοιπῶν, ἠγέρθη καὶ φοβερὸς διωγμὸς κατὰ τῶν χριστιανῶν, οἵτινες ἐπὶ τῇ ὁμολογίᾳ μόνον ὅτι εἶνε χριστιανοί, ὑπεβάλλοντο εἰς μυρίας βασάνους καὶ κατεδικάζοντο εἰς θάνατον, κατηγορούμενοι ἐνώπιον τῶν δικαστηρίων, ἐπὶ παραβάσει δῆθεν τῶν νόμων τοῦ κράτους, τοὺς ὁποίους αὐτὸς ὁ ἴδιος αὐτοκράτωρ ἔθετο. Εἷς ἐκ τῶν τοιούτων κατηγορουμένων χριστιανῶν ἦτο καὶ Ζώσιμός τις τοὔνομα ἐξ Ἀπολλωνιάδος τῆς ἐν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

256



Σωζοπόλει καταγόμενος καὶ στρατιώτης τοῦ Ρωμαϊκοῦ στρατοῦ· οὗτος, καταγγελθεὶς πρὸς τὸν αὐτοκράτορα, ὅτι ἦτο χριστινὸς καὶ ἐπιβεβαιώσας θαρραλέως τὴν ὁμολογίαν του ταύτην, πάραυτα ἐπὶ χαλκοῦ κραββάτου πυρωθέντος τεθείς, καίεται· ἀλλὰ τὸ πῦρ εἰς δρόσον μεταβληθέν, θείᾳ δυνάμει, ἀφῆκε τὸν μάρτυρα ἀβλαβῆ· πολλοὶ δὲ ἐκ τῶν παρευρεθέντων, ἰδόντες τὸ τοιοῦτον θαῦμα, προσῆλθον εἰς τὸν χριστιανισμόν· ὁ δὲ αὐτοκράτωρ ἐμμανὴς γενόμενος καὶ ἀγρίου θυμοῦ πλησθείς, διέταξε πάλιν νὰ δέσωσιν αὐτὸν ἐπὶ ἡμιόνου καὶ νὰ τὸν κομίσωσι πρὸς τὸν ἡγεμόνα, ὁ ὁποῖος μετέβαινεν εἰς τὴν πόλιν τῶν Κανανιτῶν· μείναντος δὲ τοῦ μάρτυρος νηστικοῦ ἐπὶ τρεῖς ἡμέρας, ἐφάνησαν πρὸς αὐτὸν δύο παῖδες, ἐκ τῶν ὁποίων, ὁ μὲν εἷς ἔφερεν ἄρτον ὁ δὲ ἕτερος ἀγγεῖον ὕδατος· τὰ ὁποῖα ἔλαβεν ὁ μάρτυς Ζώσιμος καὶ ηὐχαρίστησε τὸν Θεόν· πάλιν δὲ ἐπειδὴ ἐπέμενεν εἰς τὴν ὁμολογίαν του ὁ μάρτυς, διέταξεν ὁ ἡγεμὼν νὰ τὸν κρεμάσωσι, νὰ τὸν καύσωσι μὲ λαμπάδας, νὰ τὸν τρυπήσωσι μὲ σιδηρᾶς λόγχας τὰ νῶτα καὶ τὸν κόψωσι τὰ νεῦρα, τὰ δὲ κόκκαλά του νὰ τὰ κατασυντρίψωσι μὲ σιδηρᾶ σφυριά. Τοιουτοτρόπως λοιπόν, βασανισθεὶς ὁ ἅγιος, ἀπῆλθε, πρὸς Κύριον κατὰ τὸ 98—117 μ. Χ. ἔτος, κομισάμενος τὸν ἀμάραντον τοῦ μαρτυρίου στέφανον· οὕτω δὲ χαίρων εἰς τοὺς οὐρανοὺς καὶ συγχορεύων μετὰ τῶν ἄλλων μαρτύρων, βλέπει διηνεκῶς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καθήμενον ἐκ δεξιῶν τοῦ Πατρός, τὸν ὁποῖον ἀνεπαισχύντως, μεγάλῃ τῇ φωνῇ, ἐναντίον τυράννων καὶ αἱμοδίψων βασιλέων ἀσεβῶν ὡμολόγησε.

Τὰς κατωτέρω ἐλαχίστας σημειώσεις παραθέτω ἐνταῦθα, ὡς συσχετιζομένας μὲ τὸ ὅλον τῆς συγγραφῆς. Ταύτας παρέλαβον παρὰ διαφόρων πρακτικῶν τοῦ κώδικος τῆς ἱερᾶς Μητροπόλεως Σωζουπόλεως (Ἀπολλωνίας) καὶ παρὰ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ



257

διαφόρων συμπατριωτῶν μου ζώντων ἀκόμη (1), (καθόσον ἀνάγονται εἰς ἐποχὴν σύγχρονον), τὰς ὁποίας καὶ ἐξηκρίβωσα κατόπιν διὰ τὸ βεβαιότερον.

Ἡ μνήμη τοῦ ἁγίου μάρτυρος Ζωσίμου πρότερον δὲν ἑορτάζετο τόσον πανηγυρικῶς ἐν Σωζουπόλει, ὅπως κατὰ τὴν παροῦσαν ἐποχήν· πρὸς τοῦτο ἀφορμὴ ἐγένετο τὸ ἑξῆς:

Κατὰ τὸ ἔτος 1846, ὕστερον ἀπὸ καταστρεπτικὴν θύελλαν, ἡ ὁποία συνωδεύετο μὲ ραγδαιοτάτην καὶ ὁρμητικὴν βροχήν, τὸ ἔδαφος παρεσύρθη εἰς πολλὰ μέρη καὶ προέβαλε λευκός τις λίθος, κατὰ τὸ μέσον τοῦ ἰσθμοῦ τῆς χερσονήσου τῆς Σωζουπόλεως, (2) παρὰ τὸ φρέαρ τῆς πόλεως, ὅπου τότε εὑρίσκοντο καὶ οἱ ἅλωνες τῶν γεωργῶν· μετὰ πάροδον χρόνου τινός, ἐπειδὴ ὁ λίθος οὗτος ἐγένετο πρόσκομμα εἰς τὰς διερχομένας ἐκεῖθεν ἁμάξας, οἱ πολῖται πρὸς ἄρσιν τούτου, ἐξέσκαψαν τὸ μέρος ἐκεῖνο, καὶ ὁ λίθος ἐφάνη ὅτι ἦτο κάλαμος ἁγίας τραπέζης· τὸ τοιοῦτον ἐπέβαλλεν, ὅπως ἡ ἀνασκαφὴ ἐπεκταθῇ· καὶ πράγματι αὕτη ἔφερεν εἰς φῶς τὰ βάθρα καὶ ὑποστρώματα κατεστραμμένου ναοῦ. Ἐπειδὴ ὅμως, δυστυχῶς, οὔτε ἐπὶ τοῦ καλάμου, οὔτε εἰς οὐδὲν ἄλλο ἀνάσκαμμα εὑρέθη ἢ παρετηρήθη τι ἐξακριβοῦν καὶ διασαφηνίζον περὶ τοῦ ναοῦ, διὰ τοῦτο ἠρκέσθησαν τότε, χριστιανικῶς ποιοῦντες οἱ κάτοικοι, εἰς τὸ ν' ἀνεγείρωσιν ἐπὶ τοῦ τόπου ἐκείνου ἱερὸν κουβούκλιον, ἐντὸς τοῦ ὁποίου ἔκαιε κανδήλα. Οἱ κάτοικοι ἐν τῷ ἱερῷ των ζήλῳ καὶ προθυμίᾳ, δὲν περιωρίσθησαν εἰς ταῦτα μόνον, ἀλλ ἤ.

(1). Ὡς μοὶ ἐβεβαίωσεν ὁ ἐν ἱερεῦσι Βασίλειος Προκοπίου Παπαδόπουλος τυγχάνων τότε ἱεροψάλτης, ὡς ὁ γέρων Δράκος Αναγνώστου τυγχάνων καὶ αὐτός μέλος τοῦ Μητροπολιτικοῦ Συμβουλίου

(2). Ὡς μοὶ ἐβεβαίωσαν ἅπαντες οἱ γέροντες συμπατριῶται μου, ὁ λίθος οὗτος εὑρέθη ἐκεῖ ὅπου εὑρίσκετο τότε ὁ ἅλων τοῦ ποτὲ Θεοδοσίου Γλῶσσα.

θελον, ὅπως αἱ ἐπὶ τοῦ τόπου ἐκείνου ἀναπεμπόμεναι δεήσεις καὶ παρακλήσεις των πρὸς τὸν Ὕψιστον, διαβιβάζωνται καὶ ὑποβάλλωνται εἰς τοὺς πόδας τοῦ Θρόνου τῆς δόξης του, τῇ μεσιτείᾳ ὡρισμένου πρέσβεως, ἐκ τῆς ἀναριθμήτου τάξεως τῶν ἁγίων του. Πρὸς τοῦτο, συνῆλθον εἰς κοινὴν σύσκεψιν ἐν τῇ ἱερᾷ Μητροπόλει καὶ μετὰ διαμοιβὴν γνωμῶν καὶ σκέψεων, ἀπεφασίσθη, προτρέποντος καὶ τοῦ τότε ἀρχιερέως Προκοπίου, ὅπως τιμηθῇ καὶ ἀποδοθῇ ὁ ἀνασκαφῆς ἐρειπωμένος ναὸς εἰς τὸν ἅγιον ἐκεῖνον, οὗτινος ἡ μνήμη ἐτύγχανε κατὰ τὴν ἡμέραν ἐκείνην, καθ ἣν ἀνευρέθη ὁ κάλαμος, ἥτις ἦτο ἡ 19η Ιουνίου· καὶ ἐπειδὴ, κατὰ τὴν ἰδίαν ἡμέραν, σὺν τοῖς ἄλλοις ἁγίοις, μαρτυρικῶς ἐτελείωσε καὶ ὁ ἅγιος Ζώσιμος, ἀφιερώθη ὁ ναὸς εἰς τοῦτον,

Οἱ συμπολῖται μας, περαιτέρω χοροῦντες, καὶ τὰς προγονικὰς ἀρετὰς ἐπεκτείναντες, εἰς ἡμᾶς δὲ τοὺς μεταγενεστέρους χρηστὰ μαθήματα καὶ πρότυπα καταλείποντες· συτέστησαν καὶ ἀδελφότητα φερώνυμον τῷ ἁγίῳ, τὸ πλεῖστον ἐκ τεκτόνων ἀπαρτιζομένην καὶ μέχρι σήμερον διατηρουμένην. 1) Ἡ αὐτὴ ἀδελφότης, 'Ἀδελφότης ἁγίου Ζωσίμου', ἀνέθηκε καὶ εἰκόνα τοῦ ἁγίου χρονολογουμένην ἀπὸ τῆς 27 Ἰουλίου τοῦ 1847 ἔτους· ἐξ ἄλλου, ἄλλοι ἔλαβον τὴν πρωτοβουλίαν καὶ συνεισέφερον ἕκαστος ἐκ τῶν ἰδίων ὥστε ἐσχηματίσθη χρηματικόν τι κεφάλαιον, προοριζόμενον διὰ τὴν ἀνοικοδόμησιν ἑτέρου ναοῦ. Οὕτως, ἀρχῆς δοθείσης καὶ τῆς ἀδελφότητος τοῦ ἁγίου Ζωσίμου συνεπικουρούσης (2) καὶ τῇ συνδρομῇ τῶν κατοίκων () ἤρξατο ἡ ἀνοικο-

(1) Κώδιξ ἀδελφότητος ἁγίου Ζωσίμου χρονολογούμενος ἀπὸ 19 Ἰουνίου τοῦ 1847 ἔτους.

1) Ἅπαντες οἱ τὴν ἀδελφότητα ἀπαρτίζοντες τέκτονες εἰργάζοντο ἐκ περιτροπῆς εἰς τὴν ἀνέγερσιν τοῦ ναοῦ.

2) Ὡς δωρεὰ φαίνεται μία οἰκία τῆς Δοξίτσας Γεροπαπαδημη-



δόμησις τοῦ ναοῦ εἰς τὸν χῶρον καὶ ἐπὶ τὰ βάθρα τοῦ ἀρχαίου τοιούτου. Τὸ ἔργον ἐπερατώθη κατὰ τὸ 1857 ἔτος, τὰ δὲ ἐγκαίνια τοῦ ναοῦ ἐτελέσθησαν τὴν 18ην Ιουνίου τοῦ 1859 ἔτους (1) παρὰ τοῦ ἰδίου ἀρχιερέως Κυρ Προκοπίου, τὸ τρίτον διορισθέντος Μητροπολίτου Σωζοαγαθουπόλεως.

Ἐπειδὴ δὲ μέχρι τῆς ἐποχῆς ταύτης οἱ νεκροὶ ἐνεταφιάζοντο εἰς διάφορα μέρη ἐντὸς καὶ ἐκτὸς τῆς πόλεως, ὡς εἰς τὰς ἄλλας ἐν τῇ πόλει ἐκκλησίας καὶ εἰς αὐτὰς ἀκόμη τὰς παρὰ τὴν Σωζόπολιν (Ἀπολλωνίαν) δύο νήσους, ἀπεφασίσθη κοινῇ γνώμῃ, ἵνα ὁ ἐν σχήματι δέλτα Δ περιπεφραγμένος χῶρος καὶ τῇ ἱερᾷ ἐκκλησίᾳ τοῦ Ἁγίου μάρτυρος Ζωσίμου ἀνήκων, χρησιμοποιηθῇ ὡς νεκροταφεῖον τῆς πόλεως, ὅστις καὶ διετέλεσεν ὡς τοιοῦτο· μέχρι τοῦ 1892 ἔτους.

Ὑπάρχουσι δὲ ἐν Σωζοπόλει ἕτεραι Ἐκκλησίαι μεγάλαι μὲν ἡ Κοίμ. τῆς Θεοτόκου, ἀρχαιοτάτη ὡς φαίνεται, ἡ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου (2 καὶ ὁ Μητροπολιτικος Ναὸς τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου (3) μικραὶ δὲ ἡ τῶν δώδεκα Ἀποστόλων (4), ἡ τῆς Ζωο

τράκογλου, ὡς τὸ ἐν τῷ ὠδικι τῆς Ιερ. Μητροπόλεως ὑπ ἀριθ μστ =46 καὶ ἡμερομηνίαν 2 Ἰουλίου 1858 πρακτικόν. Ετέρα δωρεὰ τοῦ Δημητράκη Δούκογλου, μία ἄμπελος, ὡς ἡ ἐν τῷ Κώδικι ὑπ ἀρ. 4 καὶ ἡμερομ. 1η Ὀκτωβρ. 1860 διαθήκη του, Ὁ δὲ ἀοίδημος Μητροπολίτης Προκόπιος ἐδωρήσατο 1600 γρ. ὑπὲρ τοῦ αὐτοῦ σκοποῦ καὶ ἕτερα 10,000 γρ. ὑπὲρ τῆς τῶν ἀρρένων Σχολῆς ἡμιτελοῦς οὔσης, ὡς τὸ ἀπὸ 8 φεβρ. 1859 Πρακτικόν.

1) Ὡς τὸ ἐν τῇ Ἐκκλησιᾳ ὑπαρχον ἐπὶ τῆς ἁγίας Τραπέζης ἅγιον ἀντιμύνσιον.

2] Ἐπιδιορθωθεῖσα καὶ ἀνήκουσα σχεδὸν τῇ Ἀδελφότητι Ἁγ. Χαραλάμπους.

3) Κτίσμα τῆς Ἑλλ. Ορθοδ. Κοινότητος.

4) Ἀνεκαινίσθη παρὰ τοῦ κ. Χ Ἀνδρεάδου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

260



δόχου πηγῆς, ἡ τῆς Μεταμοφώσεως (1), ἡ τοῦ Κυρίοτ ἡμῶν Ἰησοῦ Χριστοῦ γέννησις ἡ τῆς Ὑπεραγίας Θεοτόκου (2), ἡ τοῦ ἁγίου Νικολάου, ἡ τῆς Ἀναλήψεως (3), ἡ τοῦ ἁγίου Γεωργίου, ἡ τοῦ ἁγίου Ἀθανασίου (4) ἡ τῆς ἁγίας Μαρίνης (5) ἡ τῶν ἁγίων Κωνσταντίνου καὶ Ἑλένης (6), ἡ τῆς ἁγίας Κυριακῆς, ἡ τῆς ἁγίας παρασκευῆς ἡ τοῦ ἁγίου Μεγαλομάρτυρος Διμητρίου (7) καὶ ἄλλαι πέριξ αὐτῆς κτισθεῖσαι καὶ κατὰ διοφόρους καιροὺς ἀνακαινισθεῖσαι παρ' αὐτῶν τῶν ἰδίων κατοίκων τῆς μόνης Ἑλληνικῆς Ὀρθοδόξου κοινότητος Σωζοπόλεως.

Ἔγραφον ἐν Σωζοπόλει κατὰ Μάϊον 1906.

**Ὁ Πονήσας**

ΖΗΝΟΒΙΟΣ Γ. ΖΟΥΡΜΑΛΙΔΗΣ

1) Ἀνήκει τῷ Ἑλλ. Δωροθεΐῳ Παρθεναγωγείῳ.
2) Ἀνεκαινίσθη παρὰ τοῦ κ. Λ. [illegible]σελεπόγλου.
3) Ἐκτίσθη παρὰ τοῦ κ. Α. Ραλλίδου.
4) Ἐκτίσθη παρὰ τοῦ κ. Κ. Θεοφανίδου.
5) Ἀνεκαινίσθη παρὰ τοῦ κ. Γ. Χρυσοπούλου
6) Ἀνεκαινίσθη παρὰ τοῦ κ. Ἠλ. Ἀνανία.
7) Ἀνεκαινίσθη παρὰ τοῦ κ. Ν. Χ". Γεωργίου.

261

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΖΩΣΙΜΟΥ

**ΜΗΝ ΙΟΥΝΙΟΣ**

τῇ 19 τοῦ

**ἁγίου μάρτυρος Ζωσίμου**

Εἰς τὸν ἑσπερινόν.

Μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α'. στάσιν τοῦ, Μακάριος ἀνήρ, τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ἓξ καὶ ψάλλομεν τὰ παρόντα προσόμοια τοῦ Ἁγίου εἰς Ἦχον α'.

**Τῶν οὐρανίων ταγμάτων.**

Νῦν ἡ σεβάσμιος μνήμη τῆς σῆς ἀθλήσεως, ἡμᾶς συναγαγοῦσα, εὐφημῆσαι προτρέπει, τὰ τρόπαια τοὺς ἄθλους καὶ τὰς λαμπρὰς ἀριστείας ἐν ᾄσμασιν, ἐν τῇ παρούσῃ ἑσπέρᾳ καὶ τῇ νυκτί, ἀθλητικώτατε Ζώσιμε.

Ἀποτμηθεὶς διὰ ξίφους πάσας ἐξέτεμες, τὰς μηχανὰς τοῦ πλάνου καὶ δολίου βελίαρ, ὦ Ζώσιμε Θεόφρον, διὸ τοὺς πιστῶς τὴν σὴν μνήμην γεραίροντας, ῥῦσαι παγίδων τῶν τούτου ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις ἱκεσίαις σου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἐπὶ τῇ μνήμῃ προθύμως δεῦτε συνέλθωμεν, Ζωσίμου τοῦ γενναίου καὶ λαμπρῶς εὐφρανθῶμεν· αὐτὸς γὰρ ἑστιάτωρ ὑπάρχει ἡμῖν τοῖς πιστῶς προσιοῦσιν αὐτῷ· καὶ τῶν δεινῶν ἀπαλλάττει ταῖς πρὸς Θεὸν ἱκεσίαις αὐτοῦ πάντοτε.

Ἕτερα εἰς ἦχον δ'.

**Ἔδωκας σημείωσιν.**

Ἐνέδυσας Κύριε, τὸν ἀθλοφόρον σου δύναμιν τὴν ἐξ ὕψους ἀήττητον, καὶ τοῦτον ἐνίσχυσας διὰ σὲ βασάνους, ἐξ ἐχθρῶν ἀνόμων ὑπενεγκεῖν ἀθλητικῶς, καὶ μαρτυρίου λαβεῖν τὸν στέφανον, δι' οὗ ἡμῖν συγχώρησιν ἁμαρτημάτων κατάπεμψον, Ἰησοῦ παντοδύναμε, ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Σταυρὸν ὁπλισάμενος ὁ ἀθλοφόρος σου Κύριε καὶ σῷ ζήλῳ πυρούμενος, εἰδώλων ἐνέπρησε τὰ τεμένη πάντα, καὶ τὰς παρατάξεις τοῦ ἀρχεκάκου καθελὼν Ζώσιμος ὁ ἔνδοξος, βραβεῖα νίκης δέσποτα, τὴν βασιλείαν ἀπείληφε παρὰ σοῦ τὴν οὐράνιον καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀστέρα ὑπέρλαμπρον τῇ ἐκκλησίᾳ ἀνέδειξας, Ζωσιμον τὸν μάρτυρα, ὁπλίτην τε ἄριστον δαδουχοῦντα πᾶσαν, νῦν τὴν οἰκουμένην θαυματουργίαις μυστικαῖς καὶ ἀθείας σκότος ἐλαύνοντα, ὑφ' οὗ φωταγογούμενοι θεοπρεπῶς ἀνυμνοῦμεν σε Ἰησοῦ παντοδύναμε, ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.





Δόξα ἦχος πλ. β'.

Ἐξέλαμψε σήμερον ἡ ἔνδοξος μνήμη σου, Ζώσιμε πολύαθλε, συγκαλοῦσα ἡμᾶς τοὺς φιλεόρτους, πρὸς εὐφημίαν καὶ δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Ὅθεν καὶ προστρέχοντες ἐν τῇ σορῷ τῶν λειψάνων σου, ἰαμάτων χαρίσματα λαμβάνομεν καὶ τὸν σὲ στεφανώσαντα σωτῆρα Χριστόν, ἀνυμνοῦμεν εἰς αἰῶνας ἀκαταπαύστως δοξάζοντες.

Καὶ νῦν. Θεοτοκίον ἦχος ὁ αὐτός.

Τὶς μὴ μακαρίσει σε, Παναγία παρθένε; τὶς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς. Φύσει Θεὸς ὑπάρχων καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς. οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος, αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἡ εἴσοδος, τό, Φῶς ἱλαρόν, τό, Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τὶς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τὶς ἀκουστὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς, Κύριος ὁ Θεὸς καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε, καὶ πιστεύση-



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τέ μοι καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ἡμᾶς ὁ ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. Οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκαύτωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσσα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτοὺς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία· καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῶν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.



Εἰς τὴν Λιτήν. Στιχηρὰ ἰδιόμελα ἦχος α'.

Ἀγῶνα καλὸν ἠγωνίσω καὶ δρόμον τετέλεκας τοῦ μαρτυρίου σου μάρτυς Ζώσιμε· διὸ ἐν τοῖς ὑψίστοις μετ' ἀγγέλων χορεύεις, ἀντάξια τῶν πόνων σου, εἰληφὼς τὰ ἄνω βασίλεια· ἀλλὰ πρέσβευε, συμπολῖτα θεσπέσιε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

ἦχος β'.

Αἱμάτων τοῖς κρουνοῖς τὸ σῶμα βάψας, ἀκινδύνως διῆλθες τὴν τοῦ μαρτυρίου ὁδόν, παμμακάριστε Ζώσιμε· ὅθεν καὶ ἰσχὺν τὴν ἔνθεον περιζωσάμενος, τὰ τοῦ ἐχθροῦ ἐξέκοψας μηχανουργήματα. Χριστῷ τῷ Θεῷ ὑπὲρ ἡμῶν πρεσβεύων, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

264



ἦχος δ'.

Αἶνος τῷ Θεῷ ἐκ χοϊκῶν χειλέων προσᾴδεται, ἐπὶ τῇ θείᾳ μνήμῃ σου, Ζώσιμε πολύαθλε, σὺ γὰρ ὤφθης ἀκραιφνὴς στρατιώτης τοῦ λόγου τῆς πίστεως φαυλίσας ἐν τῷ σκάμματι τῶν εἰδώλων τὰς μορφάς· καὶ νῦν προσειρείσθης τῷ φέγγει τῆς Τριάδος, καταπυρσεύων ἡμῶν τὰς διανοίας ταῖς πρεσβείαις σου.

Ἦχος δ'.

Δεῦτε φιλομάρτυρες ᾀσματικὴν ὑμνῳδίαν, τῷ ἀναστάντι ἐκ τάφου Χριστῷ προσάξωμεν. Σήμερον γὰρ ἔαρ νοητὸν ἀνέτειλεν ἡμῖν, περκάζον ἄνθη τὰ λογικά, ἡ παγκόσμιος μνήμη Ζωσίμου τοῦ μάρτυρος οὗτινος τὰ στίγματα ἀνανεοῦντες καὶ ἀρυόμεθα ἰαμάτων πηγάς. Αὐτὸν καὶ νῦν ἱκετεύσωμεν τοῦ πρεσβεύειν τὸν κόσμον καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα ἦχος β'.

Δεῦτε φιλομάρτυρες πάντες, συνελθόντες ἀναδήσωμεν ὡς ἄνθεσι ταῖς εὐφημίαις, Ζώσιμον τὸν θεοστεφῆ καὶ ἀήττητον μάρτυρα. Οὗτος γὰρ ἐν ταῖς θλίψεσι τῆς ἀθλήσεως τῇ τοῦ Θεοῦ χάριτι ἐνδυναμωθείς, τὸν πτερνιστὴν κατεπάτησε δράκοντα, καὶ τελέσας ἀνδρικῶς, τὸν δρόμον τοῦ μαρτυρίου τὸν τῆς νίκης στέφανον ἐνεδύσατο, τὸν ἀμάραντον τῆς θείας δόξης· καὶ νῦν ἐν οὐρανοῖς, σὺν ἀγγέλοις χοροβατῶν στεφηφόρος, τῷ κυρίῳ πρεσβεύει, σωθῆναι τὰς ψυχὰς ἡμῶν.



265

Καὶ νῦν. Θεοτόκιον

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Εἰς τὸν στίχον. Στιχηρὰ προσόμοια.**

ἦχος α' τῶν οὐραν. ταγμάτων.

Δεῦτε πιστοὶ συνελθόντες ἀνευφημήσωμεν, τὸν ἀθλητὴν τὸν μέγαν, καὶ γενναῖον ὁπλίτην, Ζώσιμον τὸν πᾶσαν τὴν τοῦ ἐχθροῦ δυναστείαν πατήσαντα, τούτῳ βοῶντες ἐν πίστει, ὑπὲρ ἡμῶν, τὸν Χριστὸν μάρτυς ἱκέτευε.

**Στιχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.**

Τὸν ἀριστέα τὸν θεῖον, καὶ ζηλωτὴν τοῦ Χριστοῦ, τὸ τῆς ἁγνείας κάλλος, τὴν πηγὴν τῶν θαυμάτων, Ζώσιμον τὸν μέγαν, πάντες πιστοί, ἐν ᾠδαῖς εὐφημήσωμεν, ἁγιαζόμενοι σώματα καὶ ψυχάς, ἐν τῇ μνήμῃ τῇ ἐνδόξῳ αὐτοῦ.

**Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.**

Ἐπὶ τῇ μνήμῃ σου χαίρει ἡ σὴ Πατρὶς ἀθλητά, καὶ συγκαλεῖται πάσας τῶν πιστῶν τὰς χορείας, Ζώσιμε τρισμάκαρ, τελέσαι τὴν σὴν φωτοφόρον πανήγυριν, ἧς καὶ ἡμεῖς συνελθόντες ᾀσματικῶς εὐφημοῦμεν τοὺς ἀγῶνας σου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Δόξα ἦχος δ'.

Δεῦτε τῶν πιστῶν τὸ σύστημα, πνευματικὴν χορείαν ἐπικροτήσωμεν καὶ τὸν ἀθλοφόρον Χριστοῦ τοῦ Θεοῦ ἐν ὕμνοις τιμήσωμεν Ζώσιμον τὸν ἔνδοξον. Σήμερον γὰρ ὡς ἑωσφόρος ἀνέτειλεν ἡμῖν, καὶ καταφωτίζει τὰς διανοίας τῶν πιστῶν, τῶν ἐν πίστει καὶ πόθῳ ἐπιτελούντων, τὴν μνήμην αὐτοῦ τὴν σεβάσμιον.

Καὶ νῦν Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τὸ ἀπολυτίκιον.
Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Στολαῖς ταῖς ἐξ αἵματος ὡραϊζόμενος, Κυρίῳ παρίστασαι τῷ Βασιλεῖ οὐρανῶν, ἀοίδιμε Ζώσιμε· ὅθεν σὺν ἀσωμάτων καὶ μαρτύρων χορείαις, ᾄδεις τῇ τρισαγίῳ καὶ φρικτῇ μελῳδίᾳ· διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς σῶζε τοὺς δούλους σου.

Δόξα καὶ νῦν. Θεοτοκίον ἦχος ὁ αὐτός.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον καὶ ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος καὶ σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

ὁ νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ ἀπόλυσις.



# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὴν α'. στιχολογίαν Κάθισμα**

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Τοὺς νόμους τοῦ Χριστοῦ ἐν χερσὶ περιφέρων, ἐπέστης ἐκβοῶν τοῖς ἐχθροῖς ἐν σταδίῳ, αὐτόκλητος πάρειμι ἐναθλῆσαι στερρότατα· ὅθεν κλίνας σου περιχαρῶς τὸν αὐχένα, ὑποδέδεξαι, τὴν ἐκτομὴν τὴν τοῦ ξίφους τελέσας τὸν δρόμον σου.

Δόξα καὶ νῦν Θεοτοκίον ἦχος ὁ αὐτός.

Μαρία τὸ σεπτὸν τοῦ δεσπότου δοχεῖον ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως καὶ πταισμάτων καὶ θλίψεων, σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

**Μετὰ τὴν β'. στιχολογίαν. Κάθισμα.**

Ἦχος ὁ αὐτός.

Εὐψύχως τὸν καλὸν διανύσας ἀγῶνα, ἐνίκησας ἐχθρὸν τὸν πολέμιον μάρτυς, βραβεῖα καὶ θαύματα ἐκ Θεοῦ κομισάμενος, ὅθεν ἅπασα ἡ τῶν ἐθνῶν ἐκκλησία, μακαρίζει σε ἐν τῇ παρούσῃ ἡμέρᾳ, συμφώνως θεῖε Ζώσιμε.

Δόξα καὶ νῦν. Θεοτοκίον ἦχος ὁ αὐτός.

Μητέρα σε Θεοῦ ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύ-

γοντες πρὸς τὴν σὴν ἀγαθότητα, σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα ἐν πειρασμοῖς σωτηρίαν τὴν μόνην Πανάμωμον.

**Μετὰ τὸν πολυέλεον. Κάθισμα**

Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Εὐσεβείας τὴν γνῶσιν καταλαβών, ἀγνωσίας τὸν ζόφον ἀποβαλών, Μάρτυς κατεπάτησας τὸν ἀρχέκακον ὄφιν· τῷ γὰρ θείῳ πόθῳ τὸν νοῦν πυρπολούμενος, τῶν εἰδώλων ἔσβεσας, τὸ ἄθεον φρύαγμα· ὅθεν ἐπαξίως ἀμοιβὴν τῶν ἀγώνων, ἐδέξω τὸν στέφανον στρατιώτου νικήσαντος, ἀθλητικώτατε Ζώσιμε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα καὶ νῦν. Θεοτοκίον. ἦχος ὁ αὐτός.

Τὴν σοφίαν καὶ λόγον ἐν σοι γαστρί, συλλαβοῦσα ἀῤῥάστως Μήτερ Θεοῦ, τῷ κόσμῳ ἐκύησας τὸν τὸν κόσμον κατέχοντα, τὸν τροφοδότην πάντων καὶ κτίστην καὶ Κύριον. ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, ρυσθῆναι πταισμάτων μου ὅταν μέλλω παρίστασθαι πρὸ προσώπου τοῦ Κτίστου μου, Δέσποινα Παρθένε ἁγνὴ τὴν σὴν βοήθειαν τότε μοι δώρησαι, καὶ γὰρ δύνασαι ὅσα θέλῃς πανύμνητε.



**Οἱ Ἀναβαθμοί. τὸ α'. Ἀντίφωνον τοῦ δ'. ἤχου.**

Προκείμενον ἦχος δ'.

**Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.**

**Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.**

Τὸ Πᾶσα πνοή.

## Εὐαγγέλιον.

**Ἐκ τοῦ κατὰ Λουκᾶν. ρστ'.**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδίδοντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων· καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Εἶτα ὁ Ν'. ψαλμὸς χῦμα.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

268



**Στιχ. Ἐλεήμων ἐλέησόν με ὁ Θεός. Καὶ τὸ παρὸν ἰδιόμελον.**

Ἦχος πλ. β'.

Σήμερον ἡ οἰκουμένη πᾶσα ταῖς τοῦ ἀθλοφόρου αὐγάζεται ἀκτῖσι· καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία τοῖς ἄνθεσιν ὡραϊζομένη, Ζώσιμε βοᾷ σοι. Θεράπων Χριστοῦ καὶ προστάτα θερμότατε, μὴ ἐλλίπῃς πρεσβεύων ὑπὲρ ἡμῶν πρὸς Κύριον.

**Εἶτα τό, Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Τὸ κύριε ἐλέησον ιβ'. Τὸ ἐλέει καὶ οἰκτιρμοῖς. καὶ ἀμέσως ὁ μικρὸς Παρακλητικὸς κανών. τῆς Θεοτόκου (Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν) εἰς τέσσαρα καὶ ὁ παρὼν τοῦ Ἁγίου Ζωσίμου εἰς τέσσαρα, τοῦ ὁποίου ἡ ἀκροστιχὶς σὺν τοῖς Θεοτοκίοις. Ζώσιμον ἐπαινῶ τὸ κλέος Ἀπολλωνιάδος.**

**Ὠδὴ α'. ἦχος δ'.**

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Ζωστῆρι ὑπὲρ χρυσὸν ἐκλάμποντι, μάρτυς κοσμούμενος, καὶ μαρτυρίου λάμπων καλλοναῖς, τῷ Δεσπότῃ παρίστασαι ὑπὲρ ἡμῶν δεόμενος, τῶν σὲ τιμώντων μάκαρ Ζώσιμε.

Ὡς ἄστρον πυρσοφαὲς ἀνέδειξε Χριστὸς ἐν ὕψει σε, καὶ καταυγάζεις ἅπαντας ἡμᾶς, τοὺς πιστῶς ἀνυμνοῦντάς σε, ἐπὶ τῇ θείᾳ μνήμῃ σου, Ζώσιμε παμμακάριστε.

Σωθῆναι τοὺς τὴν σεπτήν σου σήμερον μνήμην γεραίροντας, ἀπὸ παντοίων Ζώσιμε δεινῶν, καὶ κινδύνων

269



καὶ θλίψεων, τὸν εὐεργέτην Κύριον, νῦν καθικέτευε πανένδοξε.

Θεοτοκίον

Ἴασω τὴν συντριβὴν Πανάμωμε, τῆς ἀνθρωπότητος, τὸν Ποιητὴν τεκοῦσα τοῦ παντός, τὸν ἡμᾶς ἀνορθώσαντα, καταρραγέντας πτώματι τῶν προπατόρων Θεονύμφευτε.

**Ὠδὴ γ.'**

Εὐφραίνεται ἐπὶ σοί.

Μνηστεύεταί σε Χριστός, ἀντὶ χιτῶνος τῶν παθῶν δόξης σοι, καταστολὴν δωρούμενος, καὶ ἀναγεννήσεως ἔνδυμα.

Ὁ βίος σου φωταυγής, ταῖς ἐναρέτοις ἀστραπαῖς ἔλαμψε, φωταγωγῶν Ζώσιμε, τοὺς εἰλικρινῶς σε γεραίροντας.

Νυττόμενος ἀληθῶς, τῇ ἀγαπήσει τοῦ Χριστοῦ ἔνδοξε, Ζώσιμε στερρῶς ἤθλησας, πόνοις ἀφειδῶς τοῖς τοῦ σώματος.

Θεοτοκίον.

Ἐσκήνωσεν ἐν ἡμῖν, ὁ ἐν ὑψίστοις κατοικῶν Πάναγνε, ὑπερφυῶς σάρκα γὰρ ἐκ σοῦ προσλαβὼν ἠμφιάσατο.

**Κάθισμα ἦχος γ'.**

Θείας πίστεως.

Λίθος τίμιος τῆς Ἐκκλησίας, φυλαττόμενος ἐν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τοῖς ταμείοις, τοῖς οὐρανίοις γέγονας Ζώσιμε· τοὺς προσκυνοῦντας τοὺς λίθους διήλεγξας καὶ μαρτυρίου ποτήριον ἔπιες, μάρτυς ἔνδοξε, **Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.**

**Ἕτερον ἦχος α'.**

Τὸν τάφον σου Σωτήρ.

Ἀνδρείᾳ τὴν ψυχήν, ὡπλισμένος θεόφρον, ἐξέδωκας σαυτὸν εἰς ποικίλας βασάνους, τῷ πόθῳ φλεγόμενος, τοῦ Δεσπότου σου Ζώσιμε· ὅθεν ἤλεγξας, τὴν τῶν τυράννων μανίαν, καὶ τὸν στέφανον, παρὰ Θεοῦ ἐκομίσω τῆς νίκης πολύαθλε.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ἐλπὶς χριστιανῶν Παναγία παρθένε, ὃν ἔτεκες Θεὸν ὑπὲρ νοῦν τε καὶ λόγον, ἀπαύστως ἱκέτευε σὺν ταῖς ἄνω δυνάμεσι, δοῦναι ἄφεσιν ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν βίου τοῖς πίστει καὶ πόθῳ, ἀεί σε δοξάζουσι.

**Ὠδὴ δ'.**

Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία.

Παριστάμενος ἐνώπιον τῶν τυράννων, τὸ τοῦ Κυρίου ὄνομα, πίστει ἀδιστάκτῳ, Ζώσιμ' ὡμολόγησας, καὶ χαίρων ἐνήθλησας· ὅθεν εὐσεβῶς σε γεραίρομεν.

Ἀναρτώμενος ἐν ξύλῳ γενναιοφρόνως, τοὺς αἰκισμοὺς ὑπέφερες Μάρτυς ἀθλοφόρε, πάθος γὰρ εἰκόνιζες, τὸ θεῖον καὶ ἄχραντον, δι' οὗ τὴν ἀπάθειαν εὕρηκας.





Ἰατρεῖον ἀναδέδεικται πάσης νόσου, τὸ ἱερόν σου τέμενος πίστει τοῖς φιτῶσι, καὶ τὰς ἀριστείας σου, ἐν τούτῳ γεραίρουσι, Ζώσιμε παμμάκαρ θαυμάσιε.

Θεοτοκίον.

Νοερῶς σε ὁ προφήτης προεθεώρει, ὄρος σεμνὴ κατάσκιον ἐξ οὗ ὁ Δεσπότης, ἀληθῶς ἐπέφανε, σαρκὸς ὁμοιώματι, σώζων ἐκ φθορᾶς τὸ ἀνθρώπινον.

**Ὠδὴ ε'.**

Σὺ Κύριέ μου φῶς.

Ὢ γνώμης εὐσεβοῦς! ὢ γενναίου φρονήματος! ὢ πίστεως θερμοτάτης! τοῦ σεπτοῦ ἀθλοφόρου, δι' ἧς Θεοῦ ἐπέτυχε.

Ταῖς θείαις ἀστραπαῖς, τοῦ πανσόφου κηρύγματος ἐφώτισας ἀγνωσίας, τοὺς νυκτὶ συσχεθέντας, Ζώσιμε Παμμακάριστε

Ὁ θεῖος ποταμός, προελθὼν ἐκ καρδίας σου, κατέκλυσε τοὺς χειμάρρους, τῆς ἀπάτης καὶ φρένας, πιστῶν Ζώσιμε ἤρδευσας.

Θεοτοκίον.

Κατεύθυνον ἁγνή, τὴν εὐχὴν τοῦ ἱκέτου σου, πρὸς Κύριον τὸν υἱόν σου, ἵνα εὕρω τὴν λύσιν, τῶν πολλῶν παραπτώσεων.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ὠδὴ ς΄.

Θύσω σοι μετὰ φωνῆς.

Λῦσόν μου τὰς σειρὰς τῶν πταισμάτων πρεσβείαις σου· ὡς γὰρ ἀήττητος μάρτυς, παρρησίαν ἔχεις πρὸς τὸν Δεσπότην, καὶ γενοῦ μοι, καταφυγὴ καὶ σκέπη Ζώσιμε.

Ἐνίκας, προθυμίᾳ συντόνως τοὺς ἄφρονας, ἐπὶ σταυροῦ ἡπλωμένος, καὶ τοῖς ἥλοις μάκαρ ἐμπεπαρμένος, εἰκονίζων, τὸ σωτήριον πάθος τοῦ Πλάστου σου.

Ὄνυξι, σιδηροῖς σου τὰ σπλάγχνα κατέξανεν, ἀνηλεῶς ὁ διώκτης· ἀλλ' αὐτὸς εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα μετὰ δόξης ἐναπέθου Ζώσιμε ἔνδοξε.

Θεοτοκίον.

Στόματι λογισμῷ καὶ καρδίᾳ πανάχραντε, σὲ Θεοτόκον κηρύττω· διὰ σοῦ Θεῷ γὰρ προσκατηλλάγην ἀπωσμένος, παραβάσει τὸ πρὶν τοῦ προπάτορος.

**Κοντάκιον ἦχος β΄**

Τὰ ἄνω ζητῶν.

Τῆς πλάνης τεμὼν τὸ κράτος τῇ ἐνστάσει σου καὶ νίκης λαβὼν τὸ στέφος τῇ ἀθλήσει σου, τοῖς Ἀγγέλοις ἔνδοξε, συναγάλλει Ζώσιμε πανεύφημε, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.



Ὁ Οἶκος.

Γνῶσιν ἐνθεὶς τῇ ψυχῇ μου, καθαρόν μου τὰς φρένας, καὶ τῶν σῶν ἐντολῶν ἐργάτην Σῶτερ ἀνάδειξον, ἵνα ἰσχύσω καταπαλαῖσαι τὰς ποικίλας τῶν παθῶν μου ἐπαναστάσεις νικητικὸν ἀφθαρσίας βραβεῖον δεξάμενος, πρεσβείαις τοῦ σοῦ γενναίου ἀθλοφόρου Ζωσίμου φιλάνθρωπε· καὶ γὰρ αὐτὸς ἡμᾶς ἐν τῇ μνήμῃ αὐτοῦ συνεκαλέσατο, πρεσβεύων ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν τῶν τὴν ἐτήσιον μνήμην καὶ πανήγυριν ἐπιτελούντων.

## Συναξάριον

Τῷ αὐτῷ μηνὶ ιθ΄. μνήμη τοῦ ἁγίου μάρτυρος Ζωσίμου.

Στίχ. **Εὕρατο ζωὴν Ζώσιμος αἰωνίαν,**
**Τῆς αὐτοζωῆς ἕνεκεν θανὼν ξίφει.**
**Ἐννεακαιδεκάτῃ ξίφεσι Ζώσιμος θνήσκει.**

Οὗτος ὁ ἅγιος ὑπῆρχε στρατιώτης ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως ἐξ Ἀπολλωνιάδος τῆς ἐν Σωζοπόλει, ἡγεμονεύοντος τῆς ἐν Πισσιδίᾳ Ἀντιοχείας Δομετιανοῦ· ῥίψας δὲ αὐτοῦ τὰ ὅπλα καὶ προσφυγὼν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, τοῦ ἐν Χριστῷ κατηξιώθη βαπτίσματος. Ὅθεν ἀχθεὶς πρὸς τὸν Ἡγεμόνα καὶ ἑαυτὸν εἶνε χριστιανὸν ὁμολογήσας, ἐπὶ κραββάτῳ χαλκῷ πυρωθέντι ἐπιτίθεται ἐκ τεσσάρων ταθείς. Μεταβληθέντος οὖν τοῦ πυρὸς εἰς δρόσον, πολλοὶ τῶν παρόντων καταπλαγέντες τὸ θαῦμα, προσῆλθον τῷ Χριστῷ· ὁ δὲ ἅγιος Ζώσιμος, κρηπῖσι καθηλωθείς, καὶ πώλοις προσδεθεὶς, συνδραμεῖν ἠναγκάσθη τῷ Ἡγεμόνι, ἐπὶ τῶν Κανα-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

νιτῶν πόλιν ἐλαύνοντι, ἐπὶ τρισὶν ἡμέραις ἄσιτος διαμένων. Θεόθεν δὲ δύο παίδων ἐπιφανέντων αὐτῷ, καὶ τοῦ μὲν ἄρτον τοῦ δὲ ἐν ἀγγείῳ ὕδωρ κομίζοντος, εὐχαριστήσας τῷ Θεῷ τούτων μετέλαβεν. Ἀχθεὶς δὲ εἰς ἐξέτασιν, πάλιν, κρεμασθεὶς ξέεται, καὶ λαμπάσι πυρὸς κατακαίεται, καὶ σιδήροις ὀξέσι κατακεντᾶται τὸν νῶτον, καὶ ξυρῷ τέμνεται τὰ νεῦρα, καὶ τὰ ὀστᾶ συντρίβεται σιδηραῖς σφαίραις· καὶ οὕτω τὸν αὐχένα τμηθεὶς, τὸν τοῦ μαρτυρίου κομίζεται στέφανον.

Ταῖς τοῦ ἁγίου Ζωσίμου πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄

Ἐν τῇ καμίνῳ.

Ἀκτινοβόλοις, αὐγαῖς παμμάκαρ φωτιζόμενος, αἴγλης ἀρχιφώτου χύσει τε λαμπρυνθείς, τὴν οὐράνιον ἀπείληφας, χαίρων ἀπόλαυσιν, Ζώσιμε μαρτύρων τὸ καύχημα.

Πυρὸς παμμάκαρ, δυνατωτέραν ἔχων ἔνστασιν μέσον ἐμβληθεὶς πανεύφημε τῆς φλογὸς, ἀπερίτρεπτος διέμεινας, πλάνης τοὺς ἄνθρακας, ἀποσβενύων πολύαθλε Ζώσιμε.

Ὁμολογίας, σὺ τῷ στεφάνῳ Ζώσιμε διέπρεψας ἔργῳ, διελέγξας λόγους τῶν δυσεβῶν, τοὺς πιστοὺς δὲ ἐβεβαίωσας, Εὐλογημένος εἶ, ὁ Θεός μου κραυγάζων καὶ Κύριος.

Θεοτοκίον

Λελαμπρυσμένη δεδοξασμένη ὑπερλάμπουσα, φέγ-



γει Παρθενίας Μήτηρ Θεοῦ, μετὰ σώματος ἐγέννησας καὶ ἐσπαργάνωσας, τὸν ὁμίχλῃ τὴν γῆν σπαργανώσαντα.

Ὠδὴ η΄.

Χεῖρας ἐκπετάσας.

Λόγχῃ κεντηθέντα τὴν πλευρὰν, γενναῖε Ζώσιμε, καὶ αἷμα βλύσαντα, Θεὸν ἑώρακας ἄνθρωπον, διὰ σπλάγχνα χρηματίσαντα, καὶ κατετρώθης τῷ αὐτοῦ γλυκίστῳ ἔρωτι, ἀναμέλπων. Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον·

Ὡς κρίνον, ὡς ῥόδον νοητὸν, ὀδμαῖς τῶν ἄθλων σου, εὐωδιάζεις ἡμᾶς, διώκων χάριτι πάντοθεν, τὸ δυσῶδες τῶν παθῶν ἡμῶν, καὶ παρορμῶν ἀναβοᾶν, εὐωδεστάτῃ ψυχῇ. Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

